forma verò minimè, vt cera, & veſtis. Etenim totum, & omne, dicuntur: ambo nanque habent. Aqua verò, & quæcunque humida ac numerus, omne quidem dicuntur: totus verò numerus, totáque aqua dicuntur niſi metaphoricè. Omnia verò dicuntur, de quibus omne, tanquam de vno, de his omnia, vt de diuiſis, omnis hic numerus, omnes hæ vnitates.

CAPVT XXVII.

MVtilum dicitur quantorũ non quodcunque, ſed vt diuiſibile, & totum illud ſit, oportet. Duo etenim non ſunt mutila, altero ablato vno: (non enim æquale mutilamen, & reliquum vnquam eſt.) Nec omnino numerus vllus ſubſtantiam nanque manere oportet. Si calix mutilus, adhoc oportet eſſe calicem. Numerus verò non amplius idem. Et adhæc etiam ſi partium diſſimilarium ſint, nec hæc omnia: numerus etenim eſt, vt etiam diſſimilares habeat partes, vtputa binarium, & ternarium. Cæterùm nihil omnino eorum, quorum poſitio differentiam non facit, mutilum eſt: vt aqua vel ignis: ſed oportet talia eſſe, quæ ſecundum ſubſtantiam poſitionem habent. Item, continua: harmonia nanque & ex partibus diſſimilaribus eſt, & poſitionem habet, mutila autem non fit. Et adhæc nec illa, quæ tota ſunt, cuiuſcunque particulæ priuatione, mutila ſunt: non enim oportet, nec quæ principales ipſius ſubſtantiæ, nec vbicunque exiſtentes: vt ſi perforetur calix, non mutilus, ſed ſi anſa, aut extremum aliquod: homo quoque, non ſi carnem, aut ſplenem, ſed ſi extremitatem, & hanc non omnem, ſed quæ tota ablata, non habeat generationem: quale calui, non mutili.

CAPVT XXVIII.

GEnus dicitur hoc quidem, ſi generatio eorum, quæ ſpeciem eandem habent, continua ſit: vtputa dicitur, quouſque genus hominum ſit, quia donec eorum generatio continua ſit. Hoc verò, à quo ſint primo ad eſſe mouente. Ita enim Græci, genere: alij verò Iones dicuntur, eò quòd illi quidem à Græco, hi verò ab Ione primo generante ſunt. Et magis qui à generante, quàm qui à materia. Dicuntur etenim à fœmina genere, vt à Pyrrha. Item vt ſuperficies, figurarum ſuperficialium genus: & ſolidum, ſolidarum. Quæque enim figurarum, hæc quidem ſuperficies talis, illa verò ſolidum tale: hoc autem, quod ſubiectum differentiis eſt. Item, vt in rationibus quod primum ineſt,

A ἡ δὲ μορφὴ, οὔ· οἷον κηρὸς, καὶ ἱμάτιον. καὶ γὰρ ὅλον καὶ πᾶν λέγεται· ἔχει γὰρ ἄμφω. ὕδωρ δὲ καὶ ὅσα ὑγρὰ, καὶ ἀριθμὸς, πᾶν μὲν λέγεται· ὅλος δ᾽ ἀριθμὸς καὶ ὅλον ὕδωρ οὐ λέγεται, ἂν μὴ μεταφορᾷ. πάντα δὲ λέγεται, ἐφ᾽ οἷς τὸ πᾶν ὡς ἐφ᾽ ἑνὶ, ἐπὶ τούτοις πάντα, ὡς ἐπὶ διῃρημένοις, πᾶς οὗτος ὁ ἀριθμὸς, πᾶσαι αὗται αἱ μονάδες.

Κεφάλαιον κζ.

B Κολοβὸν δὲ λέγεται τῶν ποσῶν, οὐ τὸ τυχὸν, ἀλλὰ μεριστόν τε αὐτὸ δεῖ εἶναι καὶ ὅλον. τά τε γὰρ δύο, οὐ κολοβὰ θατέρου ἀφαιρουμένου ἑνὸς (καὶ γὰρ ἴσον τὸ κολόβωμα καὶ τὸ λοιπὸν οὐδέποτ᾽ ἐστὶν) οὐδ᾽ ὅλως ἀριθμὸς οὐδείς. καὶ γὰρ τὴν οὐσίαν δεῖ μένειν· εἰ κύλιξ κολοβὸς, ἔτι δεῖ εἶναι κύλικα. ὁ δὲ ἀριθμὸς, οὐκ ἔτι ὁ αὐτός. πρὸς δὲ τούτοις κἂν ἀνομοιομερῆ ᾖ,
C οὐδὲ ταῦτα πάντα. ὁ γὰρ ἀριθμός ἐστιν, ὃς καὶ ἀνόμοια ἔχει μέρη· οἷον, δυάδα, τριάδα· ἀλλ᾽ ὅλως ὧν μὴ ποιεῖ ἡ θέσις διαφορὰν, οὐδὲν κολοβόν· οἷον ὕδωρ, ἢ πῦρ· ἀλλὰ δεῖ τοιαῦτα εἶναι ἃ κατὰ τὴν οὐσίαν θέσιν ἔχει. ἔτι συνεχῆ. ἡ γὰρ ἁρμονία ἐξ ἀνομοιομερῶν μὲν καὶ θέσιν ἔχει, κολοβὸς δὲ οὐ γίνεται· πρὸς δὲ τούτοις, οὐδ᾽ ὅσα ὅλα, οὐδὲ ταῦτα ὁτουοῦν μορίου στερήσει κολο-
D βά. οὐ γὰρ δεῖ οὔτε τὰ κύρια τῆς οὐσίας, οὔτε τὰ ὁπουοῦν ὄντα· οἷον, ἂν τρυπηθῇ ἡ κύλιξ, οὐ κολοβὸς, ἀλλ᾽ ἂν τὸ οὖς ἢ ἀκρωτήριόν τι. καὶ ὁ ἄνθρωπος, οὐκ ἐὰν σάρκα ἢ τὸν σπλῆνα, ἀλλ᾽ ἐὰν ἀκρωτήριον, καὶ τοῦτο οὐ πᾶν, ἀλλ᾽ ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον. διὰ τοῦτο οἱ φαλακροὶ οὐ κολοβοί.

Κεφάλαιον κη.

E Γένος λέγεται τὸ μὲν, ἐὰν ᾖ ἡ γένεσις συνεχὴς τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό· οἷον λέγεται ἕως ἂν ἀνθρώπων γένος ᾖ, ὅτι ἕως ἂν ᾖ ἡ γένεσις, συνεχὴς αὐτῶν. τὸ δὲ ἀφ᾽ οὗ ἂν ὦσι πρώτου κινήσαντος εἰς τὸ εἶναι. οὕτω γὰρ λέγονται οἱ μὲν Ἕλληνες τὸ γένος, οἱ δὲ Ἴωνες, τῷ οἱ μὲν ἀπὸ Ἕλληνος, οἱ δὲ ἀπὸ Ἴωνος εἶναι πρώτου γεννήσαντος· καὶ μᾶλλον οἱ ἀπὸ τοῦ γεννήσαντος, ἢ τῆς ὕλης. λέγονται γὰρ καὶ ἀπὸ τοῦ θή-
F λεος τὸ γένος, οἷον ἀπὸ Πύῤῥας. ἔτι δὲ ὡς τὸ ἐπίπεδον τῶν σχημάτων γένος τῶν ἐπιπέδων· καὶ τὸ στερεὸν, τῶν στερεῶν. ἕκαστον γὰρ τῶν σχημάτων, τὸ μὲν ἐπίπεδον τοιόνδι, τὸ δὲ στερεόν ἐστι τοιονδί. τοῦτο δ᾽ ἐστὶ τὸ ὑποκείμενον ταῖς διαφοραῖς. ἔτι ὡς ἐν τοῖς λόγοις τὸ πρῶτον ἐνυπάρχον

ὃ λέγεται